# ΜΙΧΑΗΛ Ο ΜΑΛΕΪΝΟΣ

ὑπὸ

ΜΑΝΟΥΗΛ ΙΩ. ΓΕΔΕΩΝ

*Κατὰ τὰ προταχθέντα τῆς βιογραφίας Μαρίας τῆς νέας, ἐκδίδωμι τὴν τοῦ ὁσίου Μιχαὴλ τοῦ Μαλεΐνου* βιογραφίαν, ἀνθολογῶν τὰ χρήσιμα ἐκ μακροῦ «Βίου καὶ πολιτείας», μνημείου τῆς ἱστορίας τοῦ Ι′ αἰῶνος, ἀναγνώσεως ἀξίου. Μετέγραψα τὸ κείμενον ἐκ χαρτίνου κουτλουμουσιανοῦ κώδηκος, γεγραμμένου τῷ 7057 ἀπὸ κοσμογενείας (1549 σωτηρίῳ ἔτει) εἰς μέγα Δ^ον, ὑπὸ Σωφρονίου μοναχοῦ, χάριν τῆς ἱερᾶς τοῦ Κουτλουμουσίου μονῆς.*

*Ἡ βιογραφία, ἐκτεινομένη ἀπὸ σελίδος 646 μέχρις 682, ἄρχεται μὲν «Οὐκ ἔργοις χρὴ μόνον θαυμάζειν τὴν ἀρετὴν καὶ λοιποῖς προτερήμασιν, ἀλλὰ» κλπ. λήγει δὲ «Οὗτος ὁ βίος τοῦ ἰσαγγέλου πατρὸς ἡμῶν Μιχαήλ· αὕτη ἡ μέχρι τέλους εὐάρεστος αὐτοῦ πολιτεία καὶ ἀκριβεστάτη διαγωγή» κλπ.*

*Συγγραφεὺς τῆς βιογραφίας φέρεται Θεοφάνης ὁ μαθητὴς τοῦ Μαλεΐνου, ὁ καὶ ἑαυτὸν, ὡς φρονῶ, παραδεικνὺς ἡμῖν ἐν οἷς (σελ. 678) γράφει: «Τούτῳ τῷ Θεοφόρῳ καὶ φιλοτέκνῳ πατρὶ[1] ἐγένετό τις μαθητὴς Θεοφάνης ὄνομα· ὃς καὶ ἐπὶ τεσσαράκοντα ἔτεσι τῷ ἁγίῳ ἐξυπηρέτησεν, ὕδωρ ἐπὶ χεῖρας αὐτοῦ βάλλων καὶ ἐν πᾶσι διακονῶν . . . . . . . ἐκ νεαρᾶς ἡλικίας ἄχρις οὗ πρὸς Κύριον ἐξεδήμησε· τούτῳ τῷ Θεοφάνει ἐπεδόθη ποτὲ παρὰ τοῦ ὁσίου βιβλίον ἐπωφελὲς πρὸς τὸ μεταγραφῆναι· εἶχε γὰρ πρὸς τὸ καλλιγραφεῖν οὐ μικρὰν ἐπιτηδειότητα . . . . καὶ ὑπὲρ δύναμιν τὴν ἑαυτοῦ φύσιν βιασάμενος, ἐν ὀλίγῳ κομιδῇ χρόνῳ τὸ βιβλίον μετέγραψεν· ἐγένετο δὲ ἐκ τοῦ τοιούτου κόπου ἀθρόον αἷμα ἐκ τῆς κεφαλῆς διαρρεῦσαι καὶ . . . . . . ὑπὸ φρικώδους οἰδήματος τούς τε ὀφθαλμοὺς καὶ τὰ ὦτα συγκαλυφθῆναι· καὶ τὴν ῥῖνα τέλεον (679) καὶ τὸ στόμα ἀποκρυβῆναι· ἐν οἷς καὶ ἰατρῶν παῖδες ἐξαπορήσαντες, διά τινος μεθοδίας ἰατρικῆς, μόλις τὸ στόμα ἀνοίγοντες τοῦ νοσοῦντος ὕδωρ εἰς πόσιν ἐδίδοσαν . . . . . . (680) ἐν γὰρ τῇ βασιλίδι τῶν πόλεων ὁ ὅσιος τηνικαῦτα διέτριβεν».*

*Μιχαὴλ ὁ Μαλεΐνος ἀνῆκεν εἰς οἰκογένειαν ἐπιφανῆ. Ἡ βιογραφία, ἣν ὁ Θεοφάνης ἔγραψε, γνωρίζει ἡμῖν τοὺς συγγενεῖς αὐτοῦ Ἀδράλεστον πατρίκιον καὶ στρατηλάτην, Εὐστάθιον καὶ Κωνσταντῖνον καὶ Εὐδόκιμον Μαλεΐνους· ἔτι δὲ καὶ τὴν μητέρα Νικηφόρου τοῦ Φωκᾶ, τοῦ αὐτοκράτορος, ἀδελφὴν τοῦ ὁσίου Μιχαήλ· καὶ Κωνσταντῖνος μὲν Μαλεΐνος πατρίκιος καὶ στρατηγὸς Καππαδοκίας, ἀκμάζων ἐπὶ Ῥωμανοῦ Β′ (959 κ. ἑξ.) γινώσκεται[1], Νικηφόρος δέ τις Μαλεΐνος ἀναφέρεται ζῶν ἐπὶ Μιχαὴλ τοῦ μεθύσου[2] κατὰ τὰ μέσα τοῦ Θ′ αἰῶνος.*

***** ***ἡ μνήμη αὐτοῦ τῇ 12 ἰουλίου.***

1. τῷ Μιχαὴλ Μαλεΐνῳ δῆλά γε δή.



*Περὶ τοῦ Κυμινᾶ, ὄρους ἀναφερομένου καὶ ἐν βιογραφίᾳ Μαρίας τῆς νέας, σημειῶ ὅτι τοῦτο κεῖται πλησίον τῆς Ἀχυράους[3], αὕτη δ' οὐ μακρὰν τοῦ Λοπαδίου[4], δῆλα δὴ τοῦ σήμερον Οὐλουμπὰτ τῆς Βιθυνίας.*

*Μνείαν τῆς βιογραφίας τοῦ Μαλεΐνου Μιχαὴλ ἐποιήσατο Χρύσανθος ὁ Λοπάρεβ[5] ἐν «Βυζαντινοῖς Χρονικοῖς».*

*Τὰ χρήσιμα τῷ φιλίστορι μέρη αὐτῆς εἰσὶ ταῦτα:*

(648) Πατρὶς τοίνυν τῷ γενναίῳ τούτῳ τῆς εὐσεβείας ἀγωνιστῇ Χαρσιανόν· βαρβαρικαῖς ἐφόδοις δυσπρόσιτον· ἀφ' ἑαυτοῦ τῇ χώρᾳ πάσῃ μεταδεδωκὸς τοῦ ὀνόματος καὶ τὴν παλαιὰν κλῆ(649)σιν ἐναποσβέσαι φιλονεικοῦν· τῆς γὰρ Καππαδοκῶν μοίρας καθέστηκεν, ὡς πᾶσι δῆλον καὶ γνώριμον . . . . . . . Πρόγονοι δὲ πλούτῳ καὶ τιμῇ καὶ δόξῃ περίβλεπτοι· τίς γὰρ ἰδὼν οὐκ ἐθαύμασε τὸν πρὸς πατρὸς αὐτῷ πάππον, Εὐστάθιον ἐκεῖνον τὸν ἐν πατρικίοις μέγα κτησάμενον ὄνομα καὶ ἐν στρατηγίαις περιφανῶς διαπρέψαντα· πρὸς δὲ μητρὸς αὖθις Ἀδράλεστον, τὸν τῇ αὐτῇ μὲν τῶν πατρικίων ἀξίᾳ τετιμημένον, στρατηλάτην δὲ τῆς Ἀνατολῆς ἁπάσης διὰ τὸ τῆς ἀνδρείας καὶ φρονήσεως ὑπερβάλλον γενόμενον; ἢ τίς ἠγνόησε τὴν ἐξ αἵματος βασιλικοῦ γεγενημένην μάμμην αὐτῷ; τῷ μεγίστῳ γὰρ βασιλεῖ Ῥωμανῷ διέφερε πρὸς συγγένειαν. Τίς δὲ καὶ τοὺς κατὰ σάρκα γεννήτορας οὐ δι' ἐπαίνου καὶ θαύματος ἐποιήσατο; Εὐδόκιμον λέγω τὸν πάνυ, καὶ Ἀναστασὼ τὴν πᾶσι κεκοσμημένην . . . . ἐξ ὧν ὁ θαυμάσιος οὗτος προελήλυθε . . . (650) καὶ γὰρ ὁ παρ' ἡμῶν εὐφημούμενος καὶ ἀδελφὸν ἔσχε Κωνσταντῖνον τὸν μέγαν, βουλῆς τε συγκλήτου μετέχοντα· ἐν γὰρ τοῖς πατρικίοις καὶ αὐτὸς κατηρίθμητο· καὶ τῆς Καππαδοκῶν χώρας ἐπὶ πλείστοις ἔτεσι στρατηγήσαντα . . . . . ἀοίδιμον δὲ τοῦτον καὶ περιφανῆ γεγονότα, κατ' ἀμφότερα περιδέξιον, ὑπερβαλέσθαι πως κατ' ἀρετὴν ἡ ἀδελφὴ ἐσπούδασε, πᾶν εἴ τι κάλλιστον ἐν ἀνθρώποις ἐστι καὶ κτησαμένη ῥᾳδίως καὶ μέχρι τέλους διαφυλάξασα· ταύτῃ συναφθεὶς Βάρδας ὁ εὐτυχέστατος καῖσαρ Νικηφόρον τε τὸν θεοστεφῆ βασιλέα, τὸν οὐχ ἧττον βαρβάρων ἢ παθῶν ὀλετῆρα, καὶ Λέοντα τὸν μεγαλοπρεπέστατον κουροπαλάτην εὐτυχῶς ἀπεγέννησε· καὶ μακρὰν ἂν εἴη ἀπαριθμεῖσθαι καθ' ἕνα τοὺς κατὰ γένος τούτῳ προσήκοντας· σκοπῶν γὰρ περὶ τούτων ἕκαστος ἀκριβέστερον, εὑρήσει καὶ τὸν θεῖον Εὐδόκιμον, τὸν ἐν ταύτῃ μὲν τῇ βασιλευούσῃ λαμπρᾶς εὐφημούμενον, θαύμασι δὲ πολλοῖς τὴν ὑφήλιον καταυγάζοντα, συγγενῆ τοῦ μεγάλου τούτου ὑπάρχοντα . . . . . (651) τεχθεὶς δὲ ὁ ἀνδρικῶς κατὰ τῶν παθῶν ἀριστεύσας, Μανουὴλ πρὸς τῶν γεγεννηκότων ὠνόμασται[1]· οὗ καὶ εἰς αὔξησιν ἡλικίας ἐλθόντος καὶ τῇ τοῦ σπαθαροκανδιδάτου τιμηθέντος ἀξίᾳ, περὶ γαμικῶν συμφώνων οἱ γονεῖς ἐβουλεύοντο . . . . . Θεὸς δὲ ἦν ἄρα ὁ ἐκ μήτρας τοῦτον καθα(652)γιάσας· ἐγένετο γὰρ, κατ' οἰκονομίαν τοῦ κτίσαντος, τὸν πατέρα αὐτοῦ ἐν Κωνσταντινουπόλει παραγενόμενον ἐπάγεσθαι τοῦτον μεθ' ἑαυτοῦ· καὶ ἐν τῷ μέλλειν ἀναχωρεῖν οἴκαδε ἐκεῖσε τοῦτον καταλιπεῖν· οὐ πολὺ τὸ ἐν μέσῳ· καὶ συνέβη Λέοντα τὸν εὐσεβῆ βασιλέα ῥωμαίων πρὸς Κύριον ἐκδημῆσαι· ὃν ἐκκομιζόμενον ὁ Μανουὴλ κατιδὼν καὶ τοῖς δάκρυσι συγχυθεὶς ὅλος πρὸς κατάνυξιν ἀθρόως μετερρυθμίζετο· λογισάμενος ὅτι, εἰ καὶ βασιλέων οὕτως ὑπερισχύει ὁ θάνατος, τί μοι τὸ ὄφελος ἐν τῷ κόσμῳ λοιπὸν ἀναστρέφεσθαι. . . . . . Καὶ εὐθὺς, πόθον γονέων προφασισάμενος, καὶ ἐν Κωνσταντινουπόλει κατέχεσθαι παρὰ τῶν συγγενῶν μὴ βουλόμενος, ἐξῆλθε τῆς πόλεως· καὶ φθά(653)σας ἐν τῷ ποταμῷ Γάλλῳ, ὃς πλησίον

1. ἴσως τῷ 894, ὡς εἰκάζω, ἢ 95.

1. Theophanis Continuati· Βόννης, σελ. 479.
2. Συμεὼν Μάγιστρος, σελ. 680. Γεώργιος μοναχὸς, σελ. 833. Λέων Γραμματικὸς, σελ. 247.
3. Γεώργιος Ἀκροπολίτης, σελ. 30.
4. Γεώργιος Παχυμέρης, τόμ. Α′, σελ. 523.
5. βλέπε ἐν τόμῳ Δ′, ἀπὸ σελίδος 358—363.

τοῦ κυμιναίου ὄρους διέρχεται, καὶ ἐν τῇ τοῦ Μονοκαμάρου γεφύρᾳ γενόμενος, τὸν μὲν συνεπόμενον αὐτῷ πρὸς ὑπηρεσίαν λαὸν προπορεύεσθαι διωρίσατο καὶ πρὸς τὸν ἑαυτοῦ πατέρα ἐξέπεμψε, κατ' ἴχνος αὐτοῖς ἐπακολουθεῖν προσειπών· ὀλίγους δέ τινας μεθ' ἑαυτοῦ ἔχων, τὴν πόλιν Κερσίνης κατέλαβε, πρὸς αὐτοὺς ἤδη κειμένην τοῦ ὄρους τοὺς πρόποδας . . . . . . . ἕνα τῶν τῆς κώμης κατ' ἰδίαν ἀπολαβών, ἠρώτα εἰ πλησίον ἐκεῖ μοναχός τις οἰκεῖ· τοῦ δὲ φήσαντος ὡς καὶ μέγας ἅγιος γέρων πλησίον οἰκεῖ, ὀνόματι μὲν Ἰωάννης, Ἐλατίτης δὲ τὸ ἐπίκλην προσαγορευόμενος, ὑφ' οὗ καὶ πολλοὶ νουθετούμενοι σώζονται, εὐχῆς χάριν πρὸς τὸν γέροντα ἀνελήλυθεν, ὃν . . . . . εἰς μεγίστην ἔκπληξιν ἤγαγε· τὸν γὰρ τοῦ σώματος καλλωπισμὸν ὁ γέρων ὁρῶν καὶ τὸ νεάζον τῆς ἡλικίας κατανοῶν . . . . . . . . . ὁ δὲ γυμνωθεὶς τῶν συνήθων, καὶ τῷ θείῳ ἔρωτι τρωθεὶς τὴν καρδίαν τὸν ἅγιον ἐξεβιάζετο γέροντα τάχιον αὐτὸν τὸ μοναδικὸν σχῆμα περιβαλεῖν[1]· ἐδεδίει γάρ, μή ποτε ὁ πατὴρ αὐτοῦ τὰ συμβεβηκότα πυθόμενος ἀποστερήσει τοῦ ποθουμένου . . . . . . (655) τῇ τετάρτῃ ἡμέρᾳ τὸ ἅγιον σχῆμα περιεβάλλετο, Μιχαὴλ κληθεὶς ἀντὶ Μανουήλ . . . . . . .

Εἴχετο τοίνυν ὁ θαυμάσιος Μιχαὴλ τοῦ προκειμένου σκοποῦ . . . . Τῶν δὲ ἐκπεμφθέντων ἀνθρώπων αὐτοῦ πρὸς τοὺς γονεῖς ἀπελθόντων ἐν τῷ ἀνωτέρω μνημονευθέντι Χαρσιανῷ, ὅθεν καὶ ὥρμηντο, καὶ πάντα τὰ περὶ αὐτοῦ τῷ πατρὶ διασαφηνισάντων, ἦν ἰδεῖν θέαμα ἐλεεινὸν καὶ δακρύων ἄξιον . . . . , . . . . . (656) τοὺς μὲν τὴν χαλεπὴν ἀγγελίαν διακομίσαντας σφοδρῶς κατῃκίσατο· αὐτὸς δὲ εἴχετο τῆς ὁδοῦ πρὸς ζήτησιν τοῦ παιδὸς ἐπειγόμενος, ἐπεὶ δὲ τὸ προλεχθὲν ὄρος κατέλαβε, τὸν παρεπόμενον αὐτῷ λαὸν διατάξας κυκλόθεν τῆς κέλλης τοῦ γέροντος, πρὸς τὸ μὴ δυνηθῆναί ποθεν διαδρᾶναι τὸ θήραμα, αὐτὸς λεληθότως εἰσελθὼν ἔνδον τοῦ μοναστηρίου καὶ ἐν τοῖς προαυλίοις τοῦ εὐκτη(657)ρίου οἴκου γενόμενος, ἔστη ἐν γωνίᾳ λανθάνειν ἐκμηχανώμενος· ἔτυχε δὲ ἐξ οἰκονομίας Θεοῦ τὴν ἑωθινὴν ὑμνῳδίαν ἀναπέμπειν Θεῷ τοὺς ἐκεῖσε μοναχούς· νυκτὸς γὰρ ἐπέστη τῷ μοναστηρίῳ ὁ εἰρημένος πατὴρ αὐτοῦ· καὶ ἐπειδὴ συνέβη τὸν υἱὸν αὐτοῦ ψάλλειν ἐν τῷ καιρῷ τοῦ καθίσματος . . . . . ἀκούσας καὶ ἐπεγνωκὼς αὐτὸν ἐστέναξεν ἐκ βάθους καρδίας. . . . . . . (658) τὸν ἴδιον υἱὸν παραλαβὼν ᾤχετο. . . . . . . . ἐπεὶ δὲ τὴν πατρίδα κατέλαβον καὶ πρὸς αὐτὴν ἤδη τὴν οἰκίαν ἀφίκοντο. . . . . . . . τέως ἐν χερ(659)σίν, ὡς ἐδόκουν τὴν θήραν κατέχοντες . . . . . . . . ἐπινοίαις ποικίλαις τὸν λογισμὸν αὐτοῦ χαυνῶσαι ἐσπούδαζον πρὸς τὸ πεῖσαι ἀφ' ἑαυτοῦ τὸ σχῆμα ἀποβαλέσθαι . . . . . . . . . ἐπεὶ δὲ ἀνήνυτα ἦν τὰ τούτων ἐπιχειρήματα, καὶ πᾶσαν μηχανήν, ἣν προσήγαγον, ἀνίσχυρος ἔδοξεν, ἄκοντες πάλιν τὸν υἱὸν μετ' ὀργῆς τοῦ οἴκου ἐξέπεμψαν· ὁ δὲ μέγας τὴν ἀναγεννησαμένην αὐτὸν ποίμνην μετὰ σπουδῆς κατελάμβανε . . . . . . (660) Ἐπεὶ δὲ εἰς τὴν ἰδίαν ποίμνην ἀποκατέστη, ἀνεδέξατο μὲν εὐθὺς τὴν τοῦ τραπεζίτου διακονίαν, ἐν τῷ τῆς ἑστιάσεως καιρῷ τοῖς ἀδελφοῖς παριστάμενος . . . . . . (661) μετὰ δὲ διετοῦς χρόνου παρέλευσιν καὶ τὸ ἱερὸν σχῆμα[1] τῶν μοναχῶν τὸ τέλειον ἀνελάβετο, ἡνίκα καὶ ὁ πατὴρ αὐτοῦ ἐκεῖσε παραγενόμενος καὶ τετελειωμένον αὐτὸν κατιδὼν εὐφράνθη. Ἀπιὼν δὲ καὶ ἐν Ἀγκύρᾳ διασωθείς, ἔφη τῇ γυναικὶ αὐτοῦ ἐκεῖσε τότε διατριβούσῃ· Εἶδον τὸν υἱὸν Μανουὴλ καὶ εὐφράνθη μου ἡ ψυχή . . . . . Ἐν τούτοις ὄντων αὐτῶν καὶ πνευματικῶς ἀγαλλιωμένων, ἐγένετο μετ' οὐ πολὺν χρόνον Εὐδόκιμον τὸν θαυμάσιον τὸν βίον ἀπολιπεῖν, καὶ διὰ τὸ αἰφνίδιον τελευτῆσαι αὐτόν, ἀδιάθετα πάντα τὰ ὑπάρχοντα αὐτοῦ καταλειφθῆναι. Ἡ οὖν καλὴ μήτηρ. . . . . . (662) ἡ ὕστερον οἰκειωθεῖσα Θεῷ διὰ τοῦ μοναδικοῦ σχήματος καὶ ἀγγελικῶς βιοτεύσασα, μεταπεμψαμένη πρὸς ἑαυτὴν τὸν υἱόν, καὶ τοῖς τέκνοις τὰ ἐπιβάλλοντα κατὰ κληροδοσίαν μερίσασα, ἐρημικῶς τε καὶ ἡσυχίως τὸ λοιπὸν τῆς ζωῆς διετέλεσε, καὶ καλῶς ἀγωνισαμένη πρὸς τὰς ἐκεῖσε μονὰς ἐξεδήμησεν . . . . . . Ἐντεῦθεν ὁ πατὴρ ἡμῶν Μιχαήλ, τὰ ἐκ γονικοῦ κλήρου περιελθόντα παρειληφώς, τοὺς μὲν οἰκέτας ἐλευθερίᾳ τετίμηκε, λεγάτα προσεπιδούς, τὰ δὲ κινητὰ πάντα διένειμε τοῖς πτωχοῖς. . . . . . . . . τῆς δὲ ἀκινήτου πάσης μερίδος τῷ ἀδελφῷ Κωνσταντίνῳ παραχωρήσας ἑκουσίως, καὶ τὰ ἡμίση τῶν τιμημάτων λαβὼν τῷ πνευματικῷ πατρὶ προσεκόμισε, πρὸς τὸ ὑπ' ἐκείνου δοθῆναι πᾶσι τοῖς χρείαν ἔχουσι πένησί τε καὶ μοναχοῖς τοῦ ὄρους, οὐ μὴν ἀλλὰ καὶ πρὸς τὸ πλατυνθῆναι τὸ εὐαγὲς ἐκεῖνο καὶ ἱερὸν μοναστήριον. . . . . . . . . . (663) Μετὰ τὴν ἐν τῇ τελείᾳ ὑπακοῇ τριετοῦς χρόνου[2] παραδρομήν, ἐπιθυμία τις αὐτὸν ἡσυχίας

1. Ἴσως τῷ 912 ἢ 913.

1. νομίζω περὶ τὸ 915.
2. τῷ ἔτει 919 κατὰ τὸν ἐμὸν ὑπολογισμόν.



ἀκριβεστέρας κατέφλεξεν . . . . . . . ἦν δὲ πλησίον τῆς ποίμνης πέτρα τις εὐμεγέθης καὶ εὔθετος . . . . . . . . . καὶ ἡσύχασεν ἐν αὐτῇ . . , . . σαββάτῳ καὶ κυριακῇ κατιὼν πρὸς τὸν γέροντα, καὶ τοῖς ἀδελφοῖς συναναστρεφόμενος, κατὰ τὴν ἐκείνου ᾠκονομεῖτο διάκρισιν . . . . . . μετὰ δὲ τὴν τοῦ τετάρτου ἐνιαυτοῦ[1] παρέλευσιν, τῇ εὐχῇ τοῦ μεγάλου γέροντος περιφραξάμενος, πρὸς τὴν ἐσωτέραν ἐχώρησεν ἔρημον μετὰ καί τινος συγγενοῦς αὐτοῦ· Ἀγάπιον λέγω τὸν πάνυ . . . . . . . (664) διετῆ δὲ χρόνον ἐν τῇ ἐρήμῳ[2] διαγενόμενοι καὶ ἔκ τινων θορύβων ὄχλησιν ὑπομένοντες, ἔκριναν μεταβῆναι ἐκ τῶν τοῦ Γάλλου μερῶν καὶ πρὸς τὰ τῆς Προυσιάδος ὅρια προχωρῆσαι. Ὁ μὲν οὖν μέγας Ἀγάπιος, πρὸς ἄλλης πολιτείας χωρήσας ὁδόν, πολλοῖς διέπρεψε κατορθώμασιν· ὁ δὲ ὅσιος Μιχαὴλ χῶρον εὗρεν ἡσυχίας μεστόν, Ξηρολίμνην πρὸς τῶν ἐγχωρίων ὀνομαζόμενον, οὗ πλησίον καὶ γέρων τις, τὸν ἐρημικὸν βίον εἰς ἄκρον κατασπαζόμενος κατὰ μόνας ἠσκεῖτο· ἐν τούτῳ τῷ τόπῳ μικρὰν καλύβην πηξάμενος ἡσύχαζεν ἐν αὐτῇ . . . . . . Διαβοωμένων δὲ τῶν θαυμαστῶν αὐτοῦ πράξεων (665) ἤρξαντο πλήθη λαῶν συῤῥέοντα τὴν μετ' αὐτοῦ συνοίκησιν ἐκβιάζεσθαι . . . . . . . . . (666) τῶν δὲ συνελθόντων αὐτῷ ἀδελφῶν εἰς πλῆθος ἐπιδιδόντων, ὑπὲρ τοὺς πεντήκοντα γὰρ ἐγεγόνεισαν, καὶ εἰς εὐρύτερον τόπον μετατεθῆναι βιαζομένων, τὴν τῆς Ξηρολίμνης λαύραν τῷ προλεχθέντι πατρὶ Ἀγαπίῳ καταλιπών, αὐτὸς μετά τινων μαθητῶν τῇ Βιθυνίᾳ προσώρμισε, καί, τοὺς ἐκεῖσε τόπους περινοστήσας, εὗρε χῶρον ἡσύχιον, νάμασι μὲν καθαροῖς καὶ ψυχροτάτοις κατάρρυτον, πάντων δὲ τῶν πρὸς χρείαν ἐπιτηδείων τὴν χορηγίαν ἄφθονον ἔχοντα· ἐξωνήσατο δὲ τοῦτον, καὶ εὐθὺς πρὸς οἰκοδομὴν λαύρας ἑαυτὸν ἀπησχόλησεν, ἀνήγειρέ τε τῇ Θεοτόκῳ ναὸν εὐμεγέθη καὶ κάλλιστον . . . . . . καὶ συνοδίαν ἱερὰν συστησάμενος καὶ ἐν ἀκαριαίῳ χρόνῳ πολίσας τὴν ἔρημον, ἱερὰς νομοθεσίας τοῖς ἀσκεῖσθαι βουλομένοις ἐξέθετο καὶ τύπους ἀκριβεστάτους παρέδωκεν, οἷς οἱ κατακολουθεῖν προθυμούμενοι τὴν ἀσκητικὴν διαγωγὴν ἄριστα ἐκπαιδεύονται . . . . . . . . (667) ὥς που καὶ μεγαλοφώνως βοῶσι τὰ ψυχωφελῆ καὶ σωτήρια τῶν αὐτοῦ συγγραμμάτων ἐναργῶς διηγήματα. . . . . *

(669) καὶ μαρτυροῦσιν αἱ πρὸς πάντας ἀνθρώπους καθ' ἑκάστην, ὡς εἰπεῖν, εὐποιΐαι τε καὶ δαψιλεῖς ἐλεημοσύναι· καὶ τούτων αὖ πάλιν μειζόνως, σάλπιγγος γεγονώτερον καὶ εὐηχέστερον, ἀνακηρύττει τὸ φιλάνθρωπον καὶ φιλάδελφον τοῦ ἀνδρὸς τὸ κοινὸν ταμιεῖον καὶ σωτήριον καταγώγιον, τὸ μέγιστον λέγω ξενοδοχεῖον, ἐν ᾧ πᾶς τις ὁ κατὰ πάροδον καταλύων, ἀναπαύσεώς τε μεγίστης ἠξιωμένος καὶ ταῖς τῶν ἐπιδόσεων χορηγίαις τὸν ἐκ τῆς ὁδοιπορίας κόπον ἀποθέμενος, οὕτω τὸ ἑξῆς τῆς ὁδοῦ νεαρὸς ἀνύει καὶ πρόθυμος. Οὗτος ὁ μέγας πατὴρ ἡμῶν καὶ τοῦ μεγίστου τῆς ἱερωσύνης τετύχηκεν ἀξιώματος[1] . . . . . . . . .

(673) Ἡνίκα κατὰ βουλγάρων ὁ ῥωμαϊκὸς στρατὸς ἐξωπλίζετο, ἐν τοῖς χρόνοις Κωνσταντίνου τε καὶ Ζωῆς τῶν βασιλευόντων, καὶ ἡ καθ' ἡμᾶς οἰκουμένη διεδονεῖτό τε καὶ σφοδρῶς ἐταράσσετο, ἐγένετό τις πρεσβεία πρὸς τὸν ὅσιον παρά τινων φιλοθέων ἀνδρῶν, ἐκλιπαρούντων ἐνδελεχῶς πρὸς τὸ ἐκ Θεοῦ τὸ τέλος τοῦ συγκροτουμένου πολέμου μαθεῖν· ὃς καὶ διὰ τὴν τῶν παρακαλούντων ἀξίωσιν. . . . . . . εὑρέθη ἐν μιᾷ σκυθρωπάζων καὶ ὀδυνηρῶς ἀποκλαιόμενος. . . . . . ἔφησεν, ὡς εὑρέθη ἔν τινι πεδίῳ μεγάλῳ, ἐν ᾧ καὶ διῃρημένα πλήθη δύο λαῶν, λευκοφορούντων τε καὶ μελανειμονούντων, ἱστάμενα κατιδεῖν, τρίζοντα τοὺς ὀδόντας καὶ κατ' ἀλλήλων ἐξαρτυόμενα· ἐ(674)ξ ὧν κύνες δύο παμμεγέθεις ἀπολυθῆναι λευκόν τε καὶ μέλανα· οὕτω δὲ τὸν μέλανα καταφαγεῖν τὸν λευκόν, ὡς μηδὲν ὅλως τῶν ἐκείνου ὑπολειφθῆναι σαρκῶν. Τῶν δὲ ὄχλων θορυβηθέντων σφοδρῶς, θεάσασθαι πάλιν ἐκ δευτέρου ἄνδρας δύο τρομεροὺς τῇ ἰδέᾳ καὶ τῷ μεγέθει ἐκπλήκτους, τὸν μὲν λευκὴν στολὴν περιβεβλημένον, τὸν δὲ μέλανα, ἐξ ἑκατέρου μέρους ἀποσταλέντας συρραγῆναι ἀλλήλοις κατὰ τὸ μέσον τοῦ πεδίου, καὶ οὕτω τὸν μέλανα εἰς γῆν καταβαλεῖν τὸν λευκόν· διὸ καὶ γινώσκειν ὑμᾶς, φησί, βούλομαι, μεγάλην καὶ ταχυνὴν ὀργὴν τοῦ Θεοῦ πρὸς ἡμᾶς ἔρχεσθαι· ὅπερ καὶ κατὰ τὴν πρόρρησιν τοῦ θεοφόρου πατρὸς διὰ τὰς ἡμῶν ἁμαρτίας ἐγένετο . . . . . . (675) Τούτῳ τῷ διορατικῷ πατρὶ οἰκοδομεῖν ἀρξαμένῳ οἶκον μέγιστον, πρὸς δόξαν μὲν Θεοῦ τε καὶ τῆς αὐτοῦ παναχράντου μητρός, ἀ(676)νάπαυσιν δὲ τῆς ἐν Χριστῷ συνοδίας, ὁ τὰ τῆς οἰκοδομῆς ξύλα ὀφείλων διακομίσαι μαθητὴς ἤκουσε παρ' αὐ-

1. τῷ 920; ἢ 923.
2. τῷ 922; ἢ 925.
* ἐντεῦθεν μανθάνομεν ὅτι καὶ συγγραφὰς τοῖς αὐτοῦ μαθηταῖς ἔλιπε καὶ τυπικήν τινα διάταξιν.

1. ἕπεται διήγησις θαυματουργιῶν, τὸ τοῦ Μαλεΐνου προορατικὸν δηλουσῶν.

τοῦ· πρόσεχε, τέκνον. μὴ ἐξ ἀπιστίας ἢ γογγυσμοῦ ἐκπέσῃς εἰς πειρασμόν . . . . , . ἀπόστειλον ῥύσασθαι ἐκ θανάτου τὸν πειραζόμενον Λέοντα· τοῦτο γὰρ ἦν αὐτῷ ὄνομα . . . . . . . Ῥωμανοῦ τοῦ ἐκ πατρικίων εἰς τὴν βασίλειον προεληλυθότος ἀρχὴν καὶ τῆς ῥωμαϊκῆς ἁπάσης ἡγεμονίας τὰ σκῆπτρα παραλαβόντος, οἷα παρὰ τῶν αὐτοῦ παίδων τοῖς ὑπηκόοις συνέβαινεν οὐδεὶς τῶν ἁπάντων ἠγνόησεν· ἐπεὶ οὖν εἰς διαφόρους δόξας καὶ ὑπολήψεις οἱ φρονήσεως ἐν μετουσίᾳ καθεστηκότες ἐσχίζοντο καὶ ὑπώπτευον ἤδη, διὰ τὴν ἐκείνων μοχθηρίαν τε καὶ κακίστην (677) προαίρεσιν τὴν μεταβολὴν τῶν πραγμάτων γενήσασθαι, καὶ μὴ ἐπὶ πλέον μακροθυμήσειν τὴν τὰ ἡμέτερα σοφῶς καὶ ἐπιστημόνως διϊθύνουσαν πρόνοιαν, καὶ ὥσπερ μεταιχμίῳ τῇ τῶν μελλόντων ἀδηλίᾳ ἱστάμενοι, οὐκ εἶχον σαφῶς τὸ τέλος διαγινώσκειν, προσελθόντες τινὲς ἐκ τούτων φιλόχριστοι γνωρίσαι τὸ μέλλον διὰ προσευχῆς ἐλιπάρουν· καὶ μόλις ποτε ταῖς αὐτῶν ἱκεσίαις ἐπικαμφθείς, τρανῶς τὰ μετ' οὐ πολὺν χρόνον ἐκβεβηκότα ἐγνώρισεν, εἰπών· Εἶδον, ὦ οὗτοι, λευχειμονοῦντά τινα λαβόμενον τῆς χειρός μου καὶ εἰς τὴν ἁγίαν τοῦ Θεοῦ μεγάλην Σοφίαν ἀπαγαγόντα καὶ φήσαντα· ὅρα σοι τὸ ζητούμενον καὶ μηκέτι κοπία· καὶ ἐν τῷ οὕτως εἰπεῖν, ὑπέδειξέ μοι, φησί, τέσσαρα λαρνάκια κείμενα, ἃ καὶ τὸ τάχος ἀποφέρεσθαι ἔξω προσέταξε· καθαρῶς δηλοῦντος τοῦ πράγματος, ὡς αὐτός τε ὁ δηλωθεὶς Ῥωμανὸς καὶ οἱ τρεῖς αὐτοῦ παῖδες, τῶν ἱερῶν περιβόλων ἀπελαθέντες, τάχιον ἐν λάρναξι κατοικήσουσι. Διὸ καὶ τῷ θεοστεφεῖ βασιλεῖ Κωνσταντίνῳ, ἀθυμοῦντι σφοδρῶς, εὐθυμεῖν ἐνετείλατο ὡς ταχὺ πάντως τὴν προγονικὴν βασιλείαν ἀπολαμβάνοντι· ὑπὲρ ὧν καὶ Θεοφύλακτος ὁ τὴν πατριαρχείαν ἰθύνων, ἐγκοτῶν τῷ ὁσίῳ διὰ τὴν πρόρρησιν καὶ πρὸς ζηλοτυπίαν τῆς τοῦ θρόνου διαδοχῆς[1] ἐκ(678)καυθείς, ἔσπευσε τὸν μέγαν κακῶσαι καὶ τὴν περιφανῆ αὐτοῦ ποίμνην εἰς τέλος ἐξαφανίσαι· ἀλλ' αὐτὸς μὲν οὐδὲν πλέον τῆς ἐπιχειρήσεως ἤνυσε· τὰ δὲ ὁραθέντα ὑπὸ τοῦ ὁσίου κατὰ τὴν ἐκείνου ἐξέβαινε πρόρρησιν. . . . . . . . . (681) Οὗτος ὁ ἡγιασμένος καὶ φιλάγαθος πατὴρ ἡμῶν Μιχαὴλ ἀπετάξατο μὲν ἐτῶν ὑπάρχων ὀκτωκαίδεκα, χρόνους δὲ πεντήκοντα ἐν τῷ μονήρει βίῳ διήνεγκεν ἀγγελικῶς ἐν ἀνθρώποις πολιτευσάμενος· καὶ μέχρις ἐσχάτης ἀναπνοῆς[2] μὴ ἀλλάξας τὸν κανόνα τῆς ἀκριβοῦς αὐτοῦ ἐγκρατείας, ἄνευ ἀσθενείας βαρείας καὶ ἐπιφανοῦς ἑορτασίμου ἡμέρας καὶ παρουσίας φίλου τινὸς ἀξιολόγου καὶ πολλὴν τὴν οἰκείωσιν ἔχοντος.

1. βεβαιότατα μετὰ τὸ 933.
2. κατ' ἐμὲ τῷ 962.

# ΚΥΡΙΛΛΟΣ Ο ΦΙΛΕΩΤΗΣ

ὑπὸ

**ΜΑΝΟΥΗΛ ΙΩ. ΓΕΔΕΩΝ**

Μνημεῖον ἄξιον λόγου τῆς ἐν γένει μὲν ἀλλ' ἰδίᾳ τῆς θρᾳκικῆς ἱστορίας τοῦ ΙΑ' αἰῶνος ἐστιν ἡ βιογραφία Κυρίλλου τοῦ Φιλεώτου, γραφεῖσα ὑπὸ Νικολάου Κατασκεπηνοῦ. Μετέγραψα ταύτην ἀπὸ τοῦ χαρτίνου χειρογράφου 191Η τῆς μεγίστης ἐν Ἁγίῳ Ὄρει Λαύρας, γραφέντος ἐν τέλει τοῦ παρελθόντος αἰῶνος, εἰς μέγα Δ$^{ον}$, εὐαναγνώστως, καὶ κατέχοντος 138 φύλλα, δῆλον οὖν 276 σελίδας. Ἀρχὴ τῆς βιογραφίας «Εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ποιήσας τὸν οὐ|ρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς· ὁ ἐκ | τεσσσάρων στοιχείων» κλπ· τέλος αὐτῆς



«ἤμβλυται ἡ χάρις· ἡ γὰρ χάρις τὸ Πνεῦμα τὸ ἅγιον ἐστὶν, ὃ οὐκ ἀσθενεῖ, οὐδὲ μακρύνε-
νεται ἀφ' ἡμῶν, ἀλλὰ πανταχοῦ πάρεστι, κατὰ δὲ τὴν ἀναλογίαν τῆς φυλακῆς τῶν ἐντο-
λῶν τοῦ Χριστοῦ ἐνεργεῖ ἐν ἡμῖν· Ὧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις» κλπ. Καὶ
τίς μὲν ὁ Κύριλλος Φιλεώτης ποιεῖται γνωστὸν ἡ βιογραφία· συγγραφεὺς δ' αὐτῆς ἐστι
Νικόλαος ὁ Κατασκεπηνὸς, ἀκμάσας κατὰ τὸ πρῶτον ἥμισυ τοῦ ΙΒ' αἰῶνος·

ὡς ἐκ τοῦ ἐπωνύμου δηλοῦται, ὁ Νικόλαος ἦν μοναχὸς τῆς Κατασκέπης, γνώριμος
ἡμῖν ὡς ποιητὴς δύο «παρακλητικῶν κανόνων» εἰς τὴν Θεοτόκον[1]· ἡ δὲ Κατασκέπη ἦν
μοναστήριον, περί που τὸ τοῦ Πόντου στόμα κείμενον, ἴσως ἄνωθεν τοῦ σήμερον Γενὶ-
μαχαλὲ, ἴσως πλησίον τοῦ Ῥούμελ-ι-καβάκ· τὸ μοναστήριον τῆς Κατασκέπης ἔσχεν
ἱδρυτὴν τὸν αὐτοκράτορα Μανουὴλ Κομνηνὸν, τοὺς ἐπιφανεστέρους τῶν τότε μοναχῶν ἐν
αὐτῷ συνελάσαντα[2], καὶ περὶ οὗ ὁ πατριάρχης Κωνστάντιος γράφει τιθεὶς εἰς τὴν πρὸ
τοῦ κόλπου τῶν Θεραπείων κοιλάδα, «ὅπου πρὸ τῶν ἤδη νέων παραλίων οἰκοδομῶν
ἔκειντο λείψανα ἀρχαίων κτιρίων, τάφων καὶ ἐκκλησίας, . . . . . ἐρείπια τῆς μονῆς
τῆς Κατασκέπης[3]. Ὁ Φιλεώτης ἐγεννήθη τῷ 1015, ἀπέθανε τῷ 1110. .

Ὁ βιογράφος τοῦ Κυρίλλου διέσωσέ τινας εἰδήσεις ἱστορικὰς, ὡς τὴν περὶ τῆς
**ἑτεροδιδασκαλίας τοῦ Μανοῦ,** ἐν φύλλῳ 65Β, τὴν περὶ συνήθους εἰς **τὰς Βλα-**
**χέρνας** κατὰ παρασκευὴν **προσκυνήσεως,** ὡς ἐν φύλλῳ 24Α, τὴν περὶ τῆς πρὸς
τοὺς τάφους τῶν ἀποστόλων ***Πέτρου καὶ Παύλου*** εὐλαβείας τῶν ἀνατολικῶν χρι-
στιανῶν, ἐν φύλλοις 34α καὶ 35β, τὴν περὶ τοῦ **Ὡρολογίου τῶν ἐν Ὀλύμπῳ**
**μονῶν,** ἐν φύλλῳ 43β, καὶ τὴν ὕπαρξιν **ὑμνογράφου** τινὸς **Αὐξεντίου,** ὡς ἐν
φύλλῳ 93α, συλλογὴν κανόνων καὶ στιχηρῶν ποιησαμένου. Δίκαιόν δ' ἐστιν εἰπεῖν ὅτι
καὶ Κύριλλος ὁ Φιλεώτης ἦν λόγιμος ἀνὴρ, ὡς καὶ Μιχαὴλ ὁ Μαλεΐνος·

διότι πολλαὶ τέως ἄγνωστοι βιογραφίαι μοναχῶν, ὧν γεραίρομεν τὴν μνήμην, θέ-
λουσι δείξει πιθανῶς ὅτι οἱ οὕτως ὑφ' ἡμῶν γεραιρόμενοι ἦσαν ἄνδρες γραμμάτων μέτοχοι.

Λέξεις τινές εἰσι περίεργοι, καθ' ὃν τρόπον ἐξεδέχοντο ταύτας οἱ τότε χρόνοι· λόγου
χάριν: *ἄτοπος* (φυλ. 42α) ὁ μὴ ἔχων ὡρισμένην διαμονήν· *κατωβαρὴς* (φ. 55β) ὁ πά-
σχων ἐξ ὑδροκήλης· *κυκλευταὶ* μοναχοὶ (φ. 40α, 42α) οἱ περιφερόμενοι ἀπὸ μονῆς εἰς
μονὴν, οἱ τῆς σήμερον *ἁγιοπαντῖται*· *μαλλάκιον* (φ. 30β) πιθανῶς δισσάκιον· *μελισσο-*
*φάτνια* (φ. 32) αὐτεξήγητον· *πασχικὸς* (φ. 137β) ὁ πάσχων ἢ φιλάσθενος· **φιλεκκλήσιος**
(φ. 23β) ὁ καθ' ἡμᾶς φιλακόλουθος· *φοσσατικῶς* (φ. 42α) ἐκ τῆς λέξεως φοσσάτον=
κατὰ στρατιὰς, ἢ κατ' ἀγέλας. Ἐν φύλλῳ 87α δίδωσιν ἡμῖν συνταγὴν κατασκευῆς
*ἁγιοζωμίου*.

Περὶ Φιλέα καὶ Φιλεατίνης λίμνης, ἧς ἁλιεῖς, βεβαίως κάτοικοι τῶν περὶ αὐτὴν με-
ρῶν, ἀναφέρονται τῷ 258, βλέπε Ζώσιμον, Κεδρηνὸν καὶ Χωνιάτην, ἀναφέροντα Φιλέαν
ἄχρι τοῦ 1204 καὶ ὅσα περὶ τῶν περὶ Φιλέαν καὶ Δέρκον μερῶν ἔγραψα[4], ἐν οἷς παρατί-
θενται αἱ εἰς βυζαντινοὺς χρονογράφους παραπομπαί.

1. Θεοτοκάριον· ἔκδ. Β', σελ. 132, 163.
2. Ἴδε «Βυζαντινὸν Ἑορτολόγιον» εἰς τὴν 8 νοεμβρίου, ἀριθμ. 20. Ἐφραίμιον ἐν Χρονικῷ, στιχ. 4691—4701.
3. Κωνσταντινιὰς, ἔκδ. Β', σελ. 133. Χρήσιμα δὲ καὶ τὰ ἐν τῇ σελ. 159 «ἀπὸ τὸ στόμιον τοῦ Πόντου μέχρι τοῦ Βαθυρρύακος, αὐτὸ τὸ μεταξὺ διάστημα καλεῖται κυρίως στόμα τοῦ Πόντου, τὸ δὲ λοιπὸν μέχρι τῆς ἀκροπόλεως τοῦ Βυζαντίου εἶναι ὁ Βόσπορος».
4. Ἡμερολόγιον Ἀνατολικὸν, Κ. Βακαλοπούλου· ἔτους 1896, σελ. 103—134.

καὶ οἱ τῆς ὀρθοδόξου πίστεως τρόφιμοι ἐξωρίζοντο τῶν Ἐκκλησιῶν, καὶ ὄρεσι καὶ σπηλαίοις κατεκρύπτοντο. Ἐκ ταύτης οὖν τῆς ἀναῤῥιπισθείσης αἱρέσεως, ὁ Εὐσέβιος καὶ Θεόγνιος τῇ τοῦ Κωνσταντίου πτερωθέντες προστάξει, καὶ τοὺς οἰκείους θρόνους ἀπολαβόντες, πολλοὺς τῶν πατέρων ὡς ἀνθισταμένους τῷ τοῦ Ἀρείου δόγματι τῶν οἰκείων φροντιστηρίων ἐξέωσαν καὶ πρὸς ἀλλοδαπὰς χώρας οἰκεῖν κατεδίκασαν· ἐξήλασε μὲν γὰρ Εὐσέβιος ἐκ τῶν τῆς Νικομηδείας ὁρίων Γοργόνιον καὶ Ὑπάτιον καὶ Θεόκλητον, ἄνδρας πάσῃ ἀρετῇ κεκοσμημένους, βίῳ καὶ λόγῳ ἐκλάμποντας, καὶ σὺν τούτοις Λογγίνον καὶ Σωφρόνιον πρεσβυτέρους, καὶ διακόνους δύο Σέργιον καὶ Ἰσίδωρον. Ὁ δὲ Θεόγνιος ἔτι ζέων καὶ αὐτὸς τῷ θυμῷ τῆς αἱρέσεως, χαριζόμενος τοῖς ἀρειανοῖς τὴν ἐκδίκησιν χείρονα κακὰ παρὰ τὸν Εὐσέβιον ἐν τοῖς τῆς Νικαίας φροντιστηρίοις τοῖς ὀρθοδόξοις εἰργάσατο, ληστρικῶς τοῖς πατράσι καὶ τοῖς ἐπισκόποις ἐπιπηδήσας, καὶ ἀκρίτως αὐτοὺς τοῖς ῥοπάλοις τύψας, καὶ τῶν Ἐκκλησιῶν ἀπελάσας, ὑποφρουρίους ἐν τῇ φυλακῇ ἔθετο, μὴ συγχωρήσας τινὶ τῶν γνωρίμων πρὸς αὐτοὺς ἀφικέσθαι, ὡς ἂν μὴ παρ' αὐτῶν ἐπιμελείας τύχωσιν, ἀλλὰ λιμῷ καὶ δίψῃ διαφθαρῆναι αὐτούς. Ἰωάννην δὲ καὶ Ἀλέξανδρον καὶ Ἀνδρέαν, ἄνδρας θεοσεβεῖς καὶ τῆς ὀρθοδόξου πίστεως λατρευτὰς, καὶ αὐτοὺς συλλαβόμενοι οἱ ἀρειανίζοντες καὶ εἰς τὴν Νίκαιαν ἀναγαγόντες ἅμα νεανίσκῳ τινὶ Κολυμπαδίῳ τοὔνομα, καὶ Νικήτᾳ ἐκκλησιάρχῃ, τὸ μὲν πρῶτον αὐτοὺς εἶχον, οὐκ εἰς μακρὰν δὲ καταδραμόντες ἕωθεν, καὶ εἰς τὸ θέατρον αὐτοὺς παραστήσαντες ἐμαστίγωσαν, εἶθ' οὕτως ἐκβαλόντες αὐτοὺς ἐκ τῆς πόλεως ὠμότατα διεχρήσαντο, πῇ μὲν πρηνεῖς, πῇ δὲ ὑπτίους ἕλκοντες καὶ τῷ ἐδάφει προσρηγνύντες, καὶ οἱ ἔτυχον τύπτοντες, οἱ μὲν ξύλοις, οἱ δὲ λίθοις, ἄλλοι δὲ ἄλλοις ἐπιτυχοῦσιν. Οὕτως οὖν αὐτοὺς οἱ τοῦ Θεογνίου συμμύσται καταπραξάμενοι, καὶ εἰς σπήλαιόν τι τοῦ Ζαλικοῦ βουνοῦ κατακλείσαντες, μετὰ δέκα ἡμέρας σὺν ἄλλοις πλείστοις εἰς τὴν Ἰκονιέων ἐξώρισαν πόλιν, παραγγείλαντες τοῖς ἐγχωρίοις ἀρειανοῖς τηρεῖν καὶ διάγειν αὐτοὺς ἐν τῇ Κορνικῇ λίμνῃ, ἐπιβαίνειν αὐτοὺς καὶ εἰς Ψίτηλαν καὶ εἰς Σώματρα (;) διετάξαντο, μηδαμῶς δὲ τοῖς προστάταις τῶν Ἐκκλησιῶν συνδυάζειν αὐτοὺς, ἢ τοῦ δόγματος αὐτῶν μετέχειν.

Ἀπαχθέντες οὖν οἱ ὅσιοι τρισκαίδεκα πατέρες εἰς τὸ Ἰκόνιον, καὶ μήτε τὴν χώραν γνωρίζοντες, μήτε τινα τῶν γνωρίμων εἰς παρηγορίαν ἑαυτῶν καὶ ἀνάψυξιν ἔχοντες, πολλὰς σκληραγωγίας καὶ κακουχίας ὑπέστησαν, μάλιστα δὲ παρὰ τῶν ἐγχωρίων Κλουδιατῶν τῶν τὸ ἀνόμοιον πρεσβευόντων, αὐτοὶ γὰρ μόνοι μετὰ Δεκαλίωνος τοῦ τῆς Ἀμάστρας ἐπισκόπου πρὸς ἑαυτοὺς ἐστασίαζον ἀκριβολογούμενοι περὶ τὸ ὁμοούσιον ὄνομα· μετὰ δὲ ταῦτα συνόδου ἐν Ἀντιοχείᾳ γενομένης, ἀφαιρεῖται Εὐστάθιος τὴν ἀντιοχέων Ἐκκλησίαν, ὡς ἐπαινῶν τὴν ἐν Νικαίᾳ κυρωθεῖσαν πίστιν, ἐκβέβληνται δὲ καὶ ἄλλοι τῶν Ἐκκλησιῶν ὡς κοινωνοὶ Εὐσταθίου, καὶ γίνεται καθαίρεσις ἐπισκόπων, ὡς ἀποστρεφομένων τὴν τοῦ Ἀρείου αἵρεσιν, καὶ φθάνει ἡ στάσις μέχρι τοῦ Ἰκονίου, ὡς μικροῦ δεῖν ξιφῶν ἅψασθαι τούς τε ὀρθοδόξους καὶ κακοδόξους διὰ τὴν καθαίρεσιν Εὐσταθίου, καὶ πᾶσαν κινδυνεῦσαι τῆς ἀνατολῆς Ἐκκλησίαν. Ἐκ τούτου πτοηθέντες οἱ ἅγιοι μὴ καὶ εἰς αὐτοὺς τὸ πλῆθος χωρήσει, καταλιπόντες τὴν Σόβατραν, τὴν Κανὰ κώμην καταλαμβάνουσιν, ἐν ᾗ καὶ περιτυχόντες ἀνδρὶ ἐναρέτῳ τοὔνομα Συμεῶνι, καὶ παρ' αὐτοῦ ξενοδοχηθέντες καὶ εὐφρανθέντες, ἠρωτήθησαν παρ' αὐτοῦ ὅθεν εἶεν, καὶ ἐκ ποίας χώρας, καὶ ποῦ τὴν μεταβατικὴν πορείαν ποιοῦνται, τῶν δὲ ἀπολογησαμένων οἵτινες εἶεν, καὶ ὅτι ἐκ τῆς νικαέων πόλεως ὁρμῶνται, καὶ διὰ τὸ τῆς ὁμοουσίου Τριάδος δόγμα ὑπερορίαν κατεδικάσθησαν, καὶ ὅτι οὐ μετὰ πολὺ πάλιν μέλλουσιν αὐτοὶ ζητηθῆναι παρὰ τῶν ἀρειανιζόντων καὶ κακοποιηθῆναι, καὶ ἀθώους ὄντας ἀποκτανθῆναι, συναλγήσας οὖν αὐτοῖς ὁ ἀνὴρ καὶ στενάξας, εἶτα δακρύσας ἐφ' ἱκανὸν, μόλις ποτὲ ἀπεκρίθη, Εὐθυμεῖτε, ὦ ἄνδρες, διὰ τὸν Κύριον, καγὼ ὑμῖν ἐπιτήδειον τόπον ὑποδείξω, ἵνα δυνηθῆτε κρυβῆναι καὶ δεινὸν μηδὲν παθεῖν. Καὶ τοῦτο εἰπὼν, εἰς Ματζιβαζῶν αὐτοὺς χώραν ἀνήγαγεν, ἐν ᾗ ὑπῆρχεν ἐξ αἰῶνος χάσμα βαθύγαιον κρημνῶδες, ἔχον ὕδωρ πολὺ, ἑρπετῶν παντοίων κατοικητήριον, καὶ τοῦτο αὐτοῖς ὑποδείξας ὡς φοβερὸν καὶ κατάπληκτον, ἔχον μῆκος καὶ εὖρος ὡσεὶ πήχεις τριακοσίας, τὸ δὲ βάθος ὡς ἀνδρομήλικα ἑκατόν· ἐν αὐτῷ αὐτοὺς καταθεῖναι καθυπετίθετο, οἵτινες τοῦτο ἰδόντες καὶ λίαν καταπλαγέντες, δυσωπήσει χρησάμενοι πρὸς αὐτὸν τοῦ ἐμβαλεῖν αὐτοὺς ἐν αὐτῷ, καὶ πορευθεὶς εἰς τὸν οἶκον αὐτοῦ λατόμους δύο ἤγαγε, καὶ διὰ σχοινίων καὶ κοφίνων χαλάσαντες αὐτοὺς ἐν τῷ χάσματι, καὶ τὸν λίθον ἐκεῖνον πρίσαντες, ὡς ἐπ' ἀνατολὰς τὴν εἴσοδον πεποιήκασιν,



κακεῖθεν ὡς ἐπὶ νότον τὸ σπήλαιον τῶν ἁγίων πατέρων εἰργάσαντο, καὶ οὕτως εὐχερῶς εἰσῆλθον οἱ ἅγιοι ἐν αὐτῷ, παρὰ τῶν δύο ἐκείνων λατόμων καὶ τοῦ Συμεωνίου τρεφόμενοι.

Οὐ πολὺ τὸ μέσον καὶ φανεροῦνται οἱ πατέρες κρυπτόμενοι, καὶ πολλοὶ τῶν πιστῶν ἐπήρχοντο πρὸς αὐτοὺς ψυχικῆς ὠφελείας ἕνεκα, καὶ ᾠκοδομοῦντο πρὸς τὴν εὐσέβειαν. Ἐκ ταύτης οὖν τῆς διαθεούσης φήμης ἐκ τῶν περιχώρων τῆς ἀνατολῆς πολλοὶ καὶ ἄλλοι πατέρες ὡσεὶ τριακόσιοι τὸν ἀριθμὸν, οἱ καὶ παρὰ τῶν αἱρετικῶν ἐκδιωχθέντες, ἦλθον πρὸς αὐτοὺς, καὶ λατομήσαντες καὶ αὐτοὶ πανθαύμαστον σπήλαιον καὶ ναὸν τῆς Θεοτόκου δειμάμενοι, κατῴκησαν ἐν αὐτῷ, ψυχὴν δι' ἐγκρατείας καθαίροντες, καὶ τὸ σῶμα βραχυτάτῳ ἄρτῳ καὶ ὕδατι στηρίζοντες· οἵτινες καὶ θανέντες ἵστανται ὄρθιοι, περὶ ὧν μετέπειτα διηγήσομαι. Εἶθ' οὕτως εἰσῆλθον καὶ ἕτεροι τεσσαράκοντα καὶ ἐλατόμησαν καὶ αὐτοὶ ἐπὶ τὸ ἑῷον μέρος τοῦ χάσματος σπήλαιον, ἀναβαθμίδας λιθίνας μέχρι τοῦ ὕδατος λατομήσαντες ὡσεὶ δέκα ἀριθμὸν, οἵτινες καὶ αὐτοὶ μένουσιν ἄφθαρτοι, καὶ μέχρι τῆς δεῦρο ἵστανται φοροῦντες τοὺς χιτῶνας αὐτῶν καὶ τὰς ἐπωμίδας καὶ τὰ σανδάλια ἐν τοῖς ποσὶν αὐτῶν, ἐξ ὧν ὑπάρχουσι πρεσβύτεροι τρεῖς, Βασίλειος, Νικήτας καὶ Ἰωάννης, ἐστολισμένοι τὴν τῆς ἱερωσύνης αὐτῶν στολὴν, καὶ διάκονος εἷς ξανθὸς ταῖς θριξὶν καὶ πρὸς αὐτοὺς ἀφορῶν. Ἀλλ' οὗτοι μὲν οἱ πατέρες ὑστέρως εἰσῆλθον καὶ τὸν ἴσον ἀγῶνα οἱ πάντες ἐπεδείξαντο καὶ τῆς ἀφθάρτου ζωῆς μετέσχον. Ὁ δὲ μακάριος Κολυμπάδιος, εἰ καὶ ἐλαχιστότερος πάντων ὑπῆρχεν καὶ τὸ σῶμα βραχὺς, ἀλλὰ τῷ πνεύματι ὑψηλὸς ἐτύγχανεν, αὔξειν γὰρ ἐφιλονείκει τῆς φύσεως τὴν ψυχὴν καὶ μὴ ἐπαίρεσθαι τὸ σῶμα κατὰ τοῦ πνεύματος, ἀλλὰ ῥυθμίζειν μὲν καὶ ὑποπιάζειν τὸ σῶμα, καθαίρειν δὲ τὴν ψυχὴν δι' ἐγκρατείας καὶ προσευχῆς, δι' ὃ καὶ τῆς θείας χάριτος ἔτυχε σὺν τῇ ἐν Χριστῷ αὐτοῦ ἀδελφότητι, πολλοὺς γὰρ τὸ βλέπειν ἀφηρημένους, ἄλλους δὲ τῇ νόσῳ τετρυχωμένους, ἑτέρους δὲ ὑπὸ παθῶν ἀνιάτων κεκρατημένους διὰ μόνης αὐτῶν προσευχῆς ἐθεράπευον καὶ τὴν ὑγείαν παρέσχον, ἐξ ὧν δυνάστου τινὸς καππάδοκος ἐκ τοῦ χωρίου τῆς Μουρισσοῦ θυγατέρα μονογενῆ αὐτοῦ, πιοῦσαν γόνον ὄφεως διὰ τῆς νυκτὸς, δι' ἐπιθέσεως τῶν χειρῶν αὐτῶν οἱ ἅγιοι ἐθεράπευσαν, καὶ διὰ τοῦ στόματος αὐτῆς τὸν ὄφιν ἐξαγαγόντες, ἐῤῥωμένην τὸ σῶμα τῷ πατρὶ παρέδωκαν· καὶ ἄλλου δέ τινος χώραν ὑπὸ δαιμόνων ἐνεργηθεῖσαν καὶ μὴ καρπεύουσαν, δι' εὐχῆς αὐτῶν ἔγκαρπον ἔδειξαν· καὶ Χαραλάμπους ἀγέλας, ὑπὸ μαγγανίας ἀνθρώπων θνησκούσας καὶ ἐκλιπούσας, τὴν θραῦσιν ἔστησαν διὰ προσευχῆς αὐτῶν· καὶ γηπόνου τινὸς δύο υἱοὺς εἰς ἀλλήλους μαχομένους καὶ στασιάζοντας διὰ πατρικὸν ἀμπελῶνα, καὶ μέλλοντας ἀλλήλους ὅσον οὔπω διαχειρίζειν καὶ σφαγιάζειν, ξηρὰν τὴν ἄμπελον πεποιήκασιν, καὶ τὰς τῶν ἀδελφῶν ἔριδας καὶ ζηλοτυπίας δι' εὐχῆς κατεκοίμησαν· καὶ ἄλλα δέ τινα πάμπολλα θαύματα οἱ ἅγιοι πατέρες ἐργασάμενοι, καὶ ἐπὶ πᾶσι θαυμαστωθέντες διὰ τῶν πράξεων.

Ἐπεὶ δὲ τὸν δρόμον αὐτῶν τετελέκασι καὶ τὴν πίστιν τετηρήκασιν ἐν τῷ προῤῥηθέντι τόπῳ τοῦ Χάσματος· μετῆλθε δὲ τὸν βίον ὁ τὰ τῶν ῥωμαίων σκῆπτα κατέχων Κωνστάντιος· καὶ κρατεῖ τὴν βασίλειον ἀρχὴν Ἰουλιανὸς, ὃς τὰ τῶν χριστιανῶν ἀθετήσας μυστήρια καὶ τὰ τῶν ἑλλήνων ἐπιποθήσας ἐδίωκε τοὺς χριστιανοὺς, μεθ' ὧν καὶ περὶ τῶν ἐν τῷ Χάσματι ἀκούσας θαύματα καὶ τὴν ψυχὴν ταραχθεὶς ἐξώπλισε στρατιώτας ἀνόμους ἕλληνας κατ' αὐτῶν, ὥστε διὰ λιμοῦ καὶ πυρὸς καὶ ξίφους θανατῶσαι αὐτούς. Εὐαγγελισθέντες οὖν τοῦτο οἱ ἅγιοι ὑπὸ χρησμῳδίας ἀγγέλου, καὶ διαποροῦντες τί ποιήσωσι περὶ τῆς ἑαυτῶν σωτηρίας, ἐπὶ ἑπτὰ ἡμέρας ἄσιτοι διαμείναντες, τῇ ὀγδόῃ ἡμέρᾳ τῆς κυρίας τῶν ἡμερῶν. λειτουργίαν τελέσαντες καὶ εὐχὴν, μετέσχον τοῦ θείου σώματος καὶ αἵματος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ εἰσελθόντες ἐπὶ τὰ ἑαυτῶν σπήλαια, ἐπὶ τεσσαράκοντα ἡμέρας καὶ νύκτας εἴχοντο τῆς εὐχῆς· «Μὴ παραδώῃς ἡμᾶς, λέγοντες, δέσποτα κύριε, τοῖς ἀνόμοις, μηδὲ καταλείψῃς ἡμᾶς ὀρφανοὺς ἐκ τῆς σκέπης σου· ἀλλ' ἀξίωσον ἡμᾶς εὐχομένους ἐν τῷ δε τῷ τόπῳ ἀσπίλους καὶ ἀνεπιβουλεύτους, καθὼς σοι πρέπον ἐστιν· σὺ γὰρ γινώσκεις, δέσποτα τῶν ἁπάντων, τὴν πρὸς σὲ ἡμῶν πεποίθησιν, ὅτι ἕνεκά σου ταῦτα πεπόνθαμεν, τοῦ χωρισθῆναι πατρίδων καὶ συγγενῶν καὶ φίλων ἀναστροφὰς, καὶ ἀδιασπάστους ἐν σοὶ εἶναι καὶ τηρεῖν τὰ προστάγματά σου».

Τελεσάντων οὖν αὐτῶν τὰς ἡμέρας τῆς προσευχῆς, πεφθακότων καὶ τῶν στρατιωτῶν ἕως τῆς ἰκονιαίων πόλεως καὶ ἀκριβολογούντων περὶ τῶν ἁγίων πατέρων τῶν ἐν τῷ Χάσματι, κελεύσματι Θεοῦ, βροντὴ γέγονεν οὐρανόθεν, ὥστε ἀναληφθῆναι ὁμοῦ τῶν ἁγίων πατέρων τὰ πνεύματα ὑπὸ ἁγίων ἀγγέλων καὶ τεθῆναι αὐτὰ

|||||||ΠΙΜΕΛΗΘΕΝΤΩΝ ΗΡΑ
||||||ΚΛΕΙΔΟΥ ΑΠΟΛΛΩΝΙΟΥ
|||||||ΟΥ Β. Κ- ΤΙ. ΙΟΥΛΙΟΥ ΚΑΙΚΙΛΙ
ΑΝΟΥ ΤΩΝ ΒΡΑΒΕΥΤΩΝ Κ-
ΤΟΥ ΕΡΓΕΠΙΣΤΑΤΟΥ
ΤΙ- ΙΟΥΛ]ΟΥ ΓΑΜΙΚΟΥ
ΕΠΙ ΣΤΕΦ. ΙΟΥΛ. ΡΟΥΦΕΙΝΗΣ

Ἀναγνωστέον δὲ ταύτην οὕτως·
« [Θ]εοῖς πατρίοις καὶ αὐ[το]κράτορι Καί-
» σαρι Τί[τ]ῳ Αἰλίῳ Ἀδριανῷ Ἀν[τω]νείῳ
» σεβαστῷ εὐ[σε]βεῖ ἡ Σελινδηνῶν [κατ]οι-
» κία τὸ ἔργον σὺν [τῷ] περὶ αὐτὸ κόσμῳ
» καθιέρωσεν· [ἐ]πιμεληθέντων Ἡρα[κ]λεί-
» δου Ἀπολλωνίου [τοῦ] β' καὶ Τί[του]
» Ἰουλίου Καικιλιανοῦ τῶν βραβευτῶν καὶ
» τοῦ ἐργεπιστάτου Τί[του] Ἰουλίου Γαμι-
» κοῦ, ἐπὶ στεφ[ανηφόρου] Ἰουλ[ίας] Ρου-
» φείνης».

# ΕΠΙΓΡΑΦΑΙ ΕΝ ΑΓΙΩ, ΟΡΕΙ ΑΘΩ

## ΣΥΛΛΕΓΕΙΣΑΙ ΥΠΟ ΑΛΕΞΑΝΔΡΟΥ Ε. ΛΑΥΡΙΩΤΟΥ

## ΚΑΤΑ ΤΟ 1893

*Ἐν Ἁγίῳ Ὄρει Ἄθῳ 1893, ἰανουαρίου 30.*

*Τῷ Ἐξοχωτάτῳ κ. Ἀν. Χρηστίδῃ ἰατρῷ,*
προέδρῳ τοῦ Ἑλλην. Φιλολογικοῦ Συλλόγου
*Εἰς Κωνσταντινούπολιν.*

*Ἀριθμ. 1.*

Ἐν προμετωπίδι λάρνακος ἀποκειμένης ἐν τῷ Δοχείῳ τῆς ἱερᾶς μονῆς τοῦ Βατοπεδίου·

Διονυσιος Διονυσιου ζων εαυτω και τη
συμβιω αυτου Ζωσιμη Ιατροκλεους και τη
μητρη......ια κατεσκευασεν ος αν δε ε
τερον τολμηση πτωμα αποθεσται δωσει εις
το κυριακον ταμειον

*Ἀριθμ. 2.*

Ὁμοίως ἐν προμετωπίδι ἑτέρας λάρνακος ἀποκειμένης ἐν τῇ αὐτῇ μονῇ τοῦ Βατοπεδίου·

Γερμανος Ηρακλα Διονυσια Διονυσιου
τη συμβίω και εαυτω ζων. Ει δε τις τολμη
σει ετερος ανοιξαι η καταθεσθαι ετερον
δωσει προστειμου τω ταμειω Χ: Β και τη πολει Χ: Β
ετους αντ μινος πανημου 6

**Σημ.** Ὁ ἀρχιμανδρίτης Πορφύριος Οὐσπένσκη ῥῶσος ἀνάγει τὸ ἔτος τοῦτο εἰς τὸ 351 π. Χ. Ἀντίτυπα τῶν ἀνωτέρω ἐπισυνάπτονται ἐν τῷ παρόντι*.

* βλ. παρασυνημμένου πίνακος, Α, ἀριθμ. 4 καὶ 5.

*Ἀριθμ. 3.*

Ἐπὶ πλακὸς ἀποκειμένης ἐν τῇ βιβλιοθήκῃ τῆς ἱερᾶς μονῆς Μ. Λαύρας·

Ἄριστον χρῆμα ἐξ ὕλης τῆς μαρμάρου
κύπελλον ὥσπερ χερσὶ τῶν λιθοξόων
ἐξειργάσατο, τοῦ φωτίσματος χάριν,
ὕδωρ ἐκβλύζειν καὶ ῥαντίζειν τοὺς πέριξ,
διειδέστατον ἁγιάσματος ἄγγος
Ἰωάννης ἱερὸς ποιμενάρχης,
ἐγείρας ἅμα καὶ τὸν δόμον ἐκ βάθρων,
κώδωνος λαμπροῦ ἀσφαλῆ κρεμαστῆρα,
σάλπιγγος δίκην ἀλαλάζοντος μέγα,
πρὸς τοὺς ὕμνους τε τοὺς ὁπλίτας τοῦ λόγου
ἀνεγείροντος ἐν καιρῷ ψαλμῳδίας
τὴν παράταξιν τῶν δαιμόνων ἀμύνειν,
σύντονον ἀρέμβαστον μέλποντος ᾆσμα
Ἰνδικτ. ιγ' ἔτους ,ςφξη'=1060

*Ἀριθμ. 4.*

Ἐπὶ εἰκόνος κειμένης ἐν τῷ παρεκκλησίῳ τῶν ἁγίων 40 Μαρτύρων τῆς Μ. Λαύρας·

Ὡς καὶ πάρος ἔμοι γε Παρθένε κόρη
δόμον ὑπέσχου φυλάττειν ἄχρι τέλους
οὕτω καὶ τόνδε, ὃν Μαρτύριος πῆξεν
